# TRABAJO DE CLASE

# GRIEGO II

## Ἀναβάσεως τοῦ βιβλίου α´ ἐπιτομή

2º Bachillerato
2023-2024

# Βιβλίον α´

## I.- TEXTOS MÍNIMOS QUE DEBE HACER EL ALUMNO EN CLASE:

### 1.- Preparativos de Ciro para destronar a su hermano Artajerjes (1.1 - 2.3):

**01º.-** [1.1] Δαρείου[1] καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος·

**02º.-** [1.2] Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι ἐς Καστωλοῦ πεδίον ἁθροίζονται.

**03º.-** [1.3] ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη[2] εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν.

**04º.-** [1.6] ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν. παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους·

**05º.-** [1.7] ἐν Μιλήτῳ δὲ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα, τοὺς μὲν αὐτῶν ἀπέκτεινε τοὺς δ’ ἐξέβαλεν.

**06º.-**[1.7] ὁ δὲ Κῦρος συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα.

**07º.-** [1.8] ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν ἐπιβουλὴν οὐκ ᾐσθάνετο·

**08º.-** [1.9] Κλέαρχος Λακεδαιμόνιος φυγὰς ἦν· ὁ Κῦρος δίδωσιν αὐτῷ μυρίους δαρεικούς. ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ ἐπολέμει ἐκ Χερρονήσου ὁρμώμενος τοῖς Θρᾳξὶ τοῖς

---

1 Nombres propios de esta página: **Ἀρταξέρξης** -ου ὁ = Artajerjes (persona). **Δαρεῖος** -ου ὁ = Darío (persona). **Θρᾷκες** -ων οἱ = Tracios (gentilicio). **Καστωλοῦ** = la llanura del Castolo (lugar). **Κλέαρχος** -ου ὁ = Clearco (persona). **Κῦρος** -ου ὁ = Ciro (persona). **Λακεδαιμόνιος** -α -ον = Lacedemonio (gentilicio). **Μίλητος** -ου ἡ = Mileto (lugar). **Παρύσατις** -ιδος ἡ = Parisatis (persona). **Πελοποννησίος** -η -ο = peloponesios (gentilicio). **Τισσαφέρνης** -ους ὁ = Tisafernes (persona). **Χερρόνησος** -ου ἡ = Quersoneso (lugar).

2 3ª pers. sg. aor. ind. act. intransitivo de καθ-ίστημι (se estableció).

ὑπὲρ Ἑλλήσποντον[3] οἰκοῦσι[4]. τοῦτο δ'αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα.

**09º.-** [1.10] Ἀρίστιππος δὲ ὁ Θετταλὸς καὶ ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν. ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους καὶ ἓξ μηνῶν μισθόν. οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευμα.

**10º.-** [1.11] καὶ ἐποίουν οὕτως οὗτοι.

**11º.-** [2.1] Ἐπεὶ δ' ἐδόκει ἤδη πορεύεσθαι αὐτῷ ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο ὡς Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν.

**12º.-** [2.2] ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι. οἱ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες τὰ ὅπλα παρῆσαν[5] εἰς Σάρδεις.

**13º.-** [2.3] Πασίων δὲ ὁ Μεγαρεὺς τριακοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ πελταστὰς ἔχων παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης τῶν ἀμφὶ Μίλητον στρατευομένων.

## 2.- Ciro comienza la anábasis (2.3 - 7.20):

**14º.-** [2.4] οὗτοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δὲ κατανοήσας ταῦτα πορεύεται ὡς βασιλέα ἱππέας ἔχων ὡς πεντακοσίους.

**15º.-** [2.6] τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην καὶ εὐδαίμονα καὶ μεγάλην. ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκε Μένων ὁ Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ πελταστὰς πεντακοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ

3 Nombres propios de esta página: **Αἰνιᾶνες** -ων οἱ = Enianes (gentilicio). **Ἀρίστιππος** -ου ὁ = Aristipo (persona). **Δόλοπες** -ων οἱ = Dólopes (gentilicio). **Ἑλλήσποντος** -ου ὁ = Helesponto (lugar). **Θετταλία** -ας ἡ = Tesalia (lugar). **Θετταλός** -ή -όν = tesalio (gentilicio). **Κολόσσα** -ης ἡ = Colosa (lugar). **Μεγαρεύς** -έως ὁ = megarense (gentilicio). **Μένων** -ωνος ὁ = Menón. **Μίλητος** -ου ἡ = Mileto (lugar). **Πασίων** -ίωνος ὁ = Pasíon (persona). **Πίσιδες** -ων οἱ = los Písidas (gentilicio). **Σάρδεις** -εων αἱ = Sardes (lugar). **Σωκράτης** -ους ὁ = Sócrates (persona). **Τισσαφέρνης** -ους ὁ = Tisafernes (persona). **Φρυγία** -ας ἡ = Frigia (lugar).

4 οἰκοῦσι es un participio introducido por el artículo τοῖς.

5 Recuerda que esta forma es un compuesto de εἰμί.

Ὀλυνθίους[6].

**16º.- [2.7]** ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως.

**17º.- [2.8]** ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει·

**18º.- [2.8]** ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν.

**19º.- [2.8]** ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας.

**20º.- [2.9]** ἐνταῦθα Ξέρξης λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν.

**21º.- [2.9]** καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

**22º.- [2.10]** ἐνταῦθ' ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος.

**23º.- [2.12]** ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. τῇ δ' οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. εἶχε δὲ ἡ Κίλισσα φυλακὴν περὶ αὑτήν· ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ

6 Nombres propios de esta página: **Ἀπόλλων** -ωνος ὁ = Apolo. **Ἀρκάς** -άδος = arcadio (gentilicio). **Ἕλληνες** -ων οἱ = helenos, griegos (gentilicio). **Ἐπύαξα** -ας ἡ = Epiaxa (persona). **Κελαιναί** -ῶν αἱ = Celenas (lugar). **Κιλίκες** -ων οἱ = Cilicios (gentilicio). **Κίλισσα** -ης ἡ = cilicia (gentilicio). **Λύκαια** -ων τά = las fiestas Liceas. **Μαίανδρος** -ου ὁ = Meandro (lugar). **Μαρσύας** -ου ὁ = Marsias (lugar). **Ξενίας** -ου ὁ = Jenías (persona). **Ὀλυνθίοι** -ων οἱ = Olintios (gentilicio). **Ξέρξης** -ου ὁ = Jerjes (persona). **Συέννεσις** -ιος ὁ = Siénesis (persona).

Κιλίσσῃ[7].

**24º.-** [2.13] ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτήν.

**25º.-** [2.14] καὶ τὸ στράτευμα αὐτῇ βουλόμενος ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων.

**26º.-** [2.15] ἐκέλευσε δὲ τοὺς Ἕλληνας ταχθῆναι. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων[8]· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.

**27º.-** [2.16] ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους (οἱ δὲ παρήλαυνον τεταγμένοι κατὰ ἴλας καὶ κατὰ τάξεις)· εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων [ὁ Κῦρος] ἐφ' ἅρματος καὶ ἡ Κίλισσα ἐφ' ἁρμαμάξης. εἶχον δὲ πάντες κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας.

**28º.-** [2.17] ἐπειδὴ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης, ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα· καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλόμενοι τὰ ὅπλα ἐπῇσαν. προϊόντων σὺν κραυγῇ, ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς, τῶν δὲ βαρβάρων φόβος πολύς.

**29º.-** [2.18] καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης. οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. ἡ δὲ Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος ἐθαύμασε. Κῦρος δὲ ἥσθη τὸν[9] ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών.

**30º.-** [2.20] ἐντεῦθεν Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει τὴν[10] ταχίστην ὁδόν· καὶ συνέπεμψεν αὐτῇ στρατιώτας οὓς Μένων εἶχε.

---

7 Nombres propios de esta página: **Ἕλληνες** -ων οἱ = helenos, griegos (gentilicio). **Κιλικία** -ας ἡ = Cilicia (lugar). **Κίλισσα** -ης ἡ = cilicia (gentilicio). **Κλέαρχος** -ου ὁ = Clearco (persona). **Μένων** -ωνος ὁ = Menón (persona). **Μίδας** -ου ὁ = Midas (persona). **Σάτυρος** -ου ὁ = Sátiro (persona).

8 Término de una determinada formación militar = *en filas de a cuatro.*

9 El subrayado es CD de ἰδών.

10 El subrayado es CC de Tránsito en grado superlativo = *por el camino más rápido*.

**31º.- [2.20-21]** ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν ᾧ Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην[11] Μεγαφέρνην, φοινικιστὴν βασίλειον, καὶ ἕτερόν τινα τῶν ὑπάρχων δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν αὐτῷ.

**32º.- [2.21]** ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτὸς ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν[12] στρατεύματι, εἴ τις ἐκώλυεν.

**33º.- [2.21]** ἐλέγετο δὲ καὶ Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν· διὸ ἔμεινεν ἡμέραν ἐν τῷ πεδίῳ. τῇ δ' ὑστεραίᾳ ἧκεν ἄγγελος λέγων ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρέων.

**34º.- [2.22]** Κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρη οὐδενὸς κωλύοντος, καὶ εἶδε τὰς σκηνὰς οὗ οἱ Κίλικες ἐφύλαττον. ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα καὶ καλόν, ἐπίρρυτον, καὶ δένδρων παντοδαπῶν σύμπλεων ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει.

**35º.- [2.23]** καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου ἤλασε σταθμοὺς τέτταρας παρασάγγας πέντε καὶ εἴκοσιν εἰς Ταρσούς, τῆς Κιλικίας πόλιν μεγάλην καὶ εὐδαίμονα, οὗ[13] ἦν τὰ Συεννέσιος βασίλεια τοῦ Κιλίκων βασιλέως· διὰ μέσου δὲ τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα, εὖρος δύο πλέθρων.

**36º.- [2.25]** Ἐπύαξα δὲ ἡ Συεννέσιος γυνὴ προτέρα Κύρου πέντε ἡμέραις εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρέων τῇ[14] εἰς τὸ πεδίον δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώλοντο· ἦσαν δ' οὖν οὗτοι ἑκατὸν ὁπλῖται.

**37º.- [2.26]** οἱ δ' ἄλλοι ἐπεὶ ἧκον, τήν τε πόλιν διήρπασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ[13] ἐν αὐτῇ. Κῦρος δ' ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο τὸν Συέννεσιν πρὸς ἑαυτόν·

---

11 Nombres propios de esta página: **Ἐπύαξα** -ας ἡ = Epiaxa (persona). **Κιλίκες** -ων οἱ = Cilicios (gentilicio). **Κιλικία** -ας ἡ = Cilicia (lugar). **Κύδνος** -ου ὁ = Cidno (río). **Μεγαφέρνης** -ους ὁ = Megafernes (persona). **Μένων** -ωνος ὁ = Menón (persona). **Πέρσης** -ου ὁ = Persa (gentilicio). **Συέννεσις** -ιος ὁ = Siénesis (persona). **Ταρσοί** -ῶν οἱ = Tarso (ciudad).

12 Infinitivo C. Régimen de ἀμήχανος

13 οὗ es aquí adv. relativo = donde.

14 Artículo en aposición de ὑπερβολῇ.

**38º.-** [2.27] μετὰ δὲ ταῦτα, ἐπεὶ συνεγένοντο ἀλλήλοις, Συέννεσις μὲν ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ δῶρα ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον[15] χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν, τὰ δὲ ἡρπασμένα ἀνδράποδα.

**39º.-** [3.1] Ἐνταῦθα ἔμεινεν ὁ Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν· οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω· ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι· μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν.

**40º.-** [4.6] ἐντεῦθεν ἐξελαύνει διὰ Συρίας σταθμὸν ἕνα παρασάγγας πέντε εἰς Μυρίανδον, πόλιν οἰκουμένην ὑπὸ Φοινίκων ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον δ' ἦν τὸ χωρίον καὶ ὥρμουν αὐτόθι ὁλκάδες πολλαί.

**41º.-** [4.9] καὶ ὁ μὲν ταῦτα εἶπεν· οἱ δὲ Ἕλληνες ἀκούοντες τὴν Κύρου ἀρετὴν προθυμότερον συνεπορεύοντο. μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον ποταμόν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον. αἱ δὲ κῶμαι ἐν αἷς ἐσκήνουν Παρυσάτιδος ἦσαν εἰς ζώνην δεδομέναι.

**42º.-** [4.10] ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς τοῦ Δάρδατος ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου. ἐνταῦθα ἦσαν τὰ Βελέσυος βασίλεια τοῦ Συρίας ἄρξαντος, καὶ παράδεισος πάνυ μέγας καὶ καλός, ἔχων πάντα ὅσα ὧραι φύουσι. Κῦρος δ' αὐτὸν ἐξέκοψε καὶ τὰ βασίλεια κατέκαυσεν.

**43º.-** [4.11] ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων Θάψακος ὄνομα. ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε.

**44º.-** [4.11] καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις.

15 Todo lo que sigue es aposición de δῶρα.

**45º.- [4.19-5.1]** καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν. ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ μεσταὶ σίτου καὶ οἴνου. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων.

**46º.- [5.1]** ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὲς ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμου[16], ἅπαντα ἦσαν εὐώδη ὥσπερ ἀρώματα·

**47º.- [5.2]** δένδρον δ᾽ οὐδὲν ἐνῆν, θηρία δὲ παντοῖα, πλεῖστοι ὄνοι ἄγριοι, πολλαὶ δὲ στρουθοὶ αἱ μεγάλαι· ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον.

**48º.- [5.3]** τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν.

**49º.- [5.4-5.5]** πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ τὸν Μάσκαν ποταμόν, τὸ εὖρος πλεθριαῖον. ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη, ὄνομα δ᾽ αὐτῇ Κορσωτή· περιερρεῖτο δ᾽ αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ.

**50º.- [5.5]** ἐνταῦθ᾽ ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρήμους τρισκαίδεκα παρασάγγας ἐνενήκοντα τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ·

**51º.- [5.5]** ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ· οὐ γὰρ ἦν χόρτος οὐδὲ ἄλλο οὐδὲν δένδρον, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα·

**52º.- [5.10]** πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε.

**53º.- [5.12]** τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγορὰν ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν

16 Estos genitivos tienen valor de 2º término de la comparación de τι ἄλλο = *alguna otra cosa que...*

διὰ τοῦ Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν·

**54º.-** [7.1] Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς παρασάγγας δώδεκα. ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας·

## 3.- La batalla de Cunaxa (8.1 – 8.29):

**55º.-** [8.3] Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνεδύετο καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι.

**56º.-** [8.6] Κῦρος δὲ καὶ ἱππεῖς τούτου ὅσον ἑξακόσιοι κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι πάντες πλὴν Κύρου[17]· Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο, λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν.

**57º.-** [8.7] οἱ δ´ ἵπποι πάντες [οἱ μετὰ Κύρου] εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

**58º.-** [8.8] ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων·

## 4.- Elogio a Ciro (9.1 – 9.31):

**59º.-** [9.2-3] ἔτι παῖς ὤν, ὅτ´ ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα κράτιστος ἐνομίζετο. πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται·

## 5.- Final de la batalla de Cunaxa (10.1 – 10.19):

**60º.-** [10.1] Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ χεὶρ ἡ δεξιά. βασιλεὺς δὲ [καὶ οἱ σὺν αὐτῷ] διώκων εἰσπίπτει εἰς τὸ Κύρειον

17 Para entender mejor el texto, entiéndase aquí la forma ἦσαν.

στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὑτῶν στρατοπέδου εἰς τὸν σταθμὸν ἔνθεν ὡρμῶντο·

**61º.- [10.19]** ὥστε ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων· ἦσαν δὲ καὶ ἀνάριστοι· πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον βασιλεὺς ἐφάνη. ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

# II.- ESTRUCTURAS PA' RECORDAR:

## I.- EL ARTÍCULO:

### *I.1ª.- Artículo definido en uso indefinido:*
* τοὺς μὲν ἀπέκτεινε τοὺς δ' ἐξέβαλεν = a unos los mató, a otros los expulsó.

### *I.2ª.- Artículo sustantivador:*
A.- Artículo + adverbio: * τὰ ἄνω = lo arriba **==>** la cumbre.
B.- Artículo + adjetivo:
C.- Artículo + pronombre: * οἱ ἐκείνου = los de aquel **==>** los suyos.
D.- Artículo + infinitivo:
E.- Artículo + participio ==> Oración Relativa Especificativa:
* τοὺς Μίλητον πολιορκοῦντας = los que asediaban Mileto.
* τῶν ἀμφὶ Μίλητον στρατευομένων = de los que combatían alrededor deMileto.
F.- Artículo + sintagma preposicional:
* οἱ σὺν αὐτῷ = los con él **==>** los suyos // su escolta.
* οἱ σὺν ἐκείνῳ = los con aquél **==>** los suyos // su escolta.
* τὸ ἀμφ' αὐτὸν = lo entorno a él mismo **==>** lo suyo.
* οἱ μετὰ Κύρου = los con Ciro **==>** los que estaban con Ciro.
G.- Artículo + frase:

### *I.3ª.- Artículo en aposición:*
* τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι = a los tracios, a los que viven sobre el Helesponto.

### *I.4ª.- Artículo partitivo:*
* τινες Ἑλλήνων = unos de los helenos.
* τις τῶν ἀμφὶ Μίλητον στρατευομένων = uno de los que combaten en torno a Mileto.

## II.- EL VERBO COPULATIVO εἰμί / γίγνομαι:

### *II.1ª.- εἰμί copulativo o con atributo:*
* ψιλὴ ἦν ἅπασα ἡ χώρα = todo el territorio estaba sin vegetación.

### *II.2ª.- εἰμί no copulativo o sin atributo:*
* οὐ γὰρ ἦν χόρτος = pues no había pasto.

### *II.3ª.- εἰμί + inf. = ser posible + inf:*
* ἦν ἔχειν = era posible tener.
* παρελθεῖν οὐκ ἦν = no era posible pasar.
* καὶ οὐκ ἦν λαβεῖν = y no era posible coger.

### *II.4ª.- Con adverbios de modo (también con el verbo ἔχω):*
* καλῶς εἶναι = estar bien.
* καλῶς εἶχε = estaba bien.

## III.- VALORES DE ὡς:

* ***ὡς solo*** = adverbio modo = así.
* ***ὡς con verbo*** = conjunción completiva // temporal.
* ***ὡς con un número*** = indefinición del número.
    * ὡς τέτταρες στάδιοι = unos 4 estadios.
    * ὡς δισχίλιοι = unos dos mil.
    * ὡς δίπλεθρον = unos dos pletros.
* ***ὡς con superlativo*** = aumento del superlativo.
    * ὡς τάχιστα = lo más rápidamente posible.
* ***ὡς con participio*** = como si...
    * ὡς ἐπιβουλεύοντος Τισσαφέρνους = como si Tisafernes conspirara.
    * ταύτην τὴν χώραν ὡς πολεμίαν οὖσαν = ese territorio como si fuera enemigo.
    * ὡς εἰς μάχην παρεσκευασμένος = como si estuviera preparado para el combate.

## IV.- COMPARATIVOS Y SUPERLATIVOS:

### *IV.1ª.- Comparativos:*

* ἀνωτέρω (adv. comp.) = más arriba.
* μᾶλλον ἤ = más que.
* νεώτερος = más joven.
* πλείους ἤ = más de.
* πρεσβύτερος = más viejo.
* προτέρα Κύρου = primera que Ciro ==> antes que Ciro.

### *IV.2ª.- Superlativos:*

* ὡς / ὅτι μάλιστα= cuanto más pueda // los más posibles.
* ὡς / ὅτι τάχιστα = lo más rápidamente posible.

**V.- λέγεται / ἐλέγετο (SE DICE QUE/ SE DECÍA QUE):** * Son las formas para el chismorreo: Puede llevar la oración de infinitivo en CD normal o con el sujeto del infinitivo en ***Nominativo*** *(concordando con el verbo personal):*

* λέγεται ὁ Μίδας τὸν Σάτυρον θηρεῦσαι = se dice que Midas cazó a Sátiro.
* ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κιλίσσῃ = y se decía también que Ciro había tenido relaciones con la cilicia.
* Ξέρξης λέγεται οἰκοδομῆσαι τὰ βασίλεια = se dice que Jerjes construyó el palacio.
* ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά = se decía que dio mucho dinero a Ciro.

## VI.- PERÍFRASIS: VERBO Y PARTICIPIO PREDICATIVO EN NOMINATIVO:

1º.- τυγχάνω + part. = tener suerte + haciendo algo ==> hace algo casualmente.

* παρὼν ἐτύγχανε = estaba casualmente presente.
* ξένος ὢν ἐτύγχανεν = era casualmente un huésped.
* ἔτυχε προσιὼν = se acercó casualmente.
* τεταγμένος ἐτύγχανεν = estaba casualmente formado.

* οἳ ἔτυχον ἐν τοῖς σκευοφόροις ὅπλα ἔχοντες καὶ ἀντιταχθέντες = quienes casualmente tuvieron las armas en los bagajes y se habían puesto en formación.

2º.- λανθάνω + part. = se ocultaba que pasaba algo ==> pasaba algo a escondidas.
* τρεφόμενον ἐλάνθανεν τὸ στράτευμα = el ejército crecía a escondidas.

## VII.- CONJUNCIONES SUBORDINADAS:

* Adverbios relativos: * ᾗ = por donde.
  * ὅπῃ = por donde.

* Completivas: * ὅπως = para + inf, para que.
  * ὅτι = que.
  * ὡς = que.

* Condicionales: * εἴ = si.
  * ἤν = si.

* Consecutivas: * ὥστε: = de modo que.

* Finales: * ὅπως + opt. = para + inf, para que.
  * πρίν + inf. = para + inf, para que.

* Temporales: * ἐπεί = después que.
  * ἐπειδή = después que.
  * μέχρι = hasta que.
  * ὁπότε + opt. = cada vez que.
  * ὅταν + subj. = cuando.
  * ὡς = cuando.

## IX.- NOMBRES PROPIOS DE PERSONAS:

### *IX.1ª.- De la 1ª declinación:*

Ἀρταξέρξης -ου ὁ = Artajerjes.
Ἐπύαξα -ας ἡ = Epiaxa.
Κτησίας -ου ὁ = Ctesias.
Μίδας -ου ὁ = Midas.
Μίδας -α ὁ = Midas.
Ξενίας -ίου ὁ = Jenias.
Ξέρξης -ου ὁ = Jerjes.
Ὀρόντας -α ὁ = Orontas.
Πυθαγόρας -ου ὁ = Pitágoras.

### *IX.2ª.- De la 2ª declinación:*

Ἀριαῖος -ου ὁ = Arieo.
Ἀρίστιππος -ου ὁ = Aristipo.
Ἀρταπάτος -ου ὁ = Artapato.
Δαρεῖος -ου ὁ = Darío.

Ἐνυαλίος -ου ὁ = Eníalio.
Κλέαρχος -ου ὁ = Clearco.
Κῦρος -ου ὁ = Ciro.
Λύκιος -ου ὁ = Licio.
Πρόξενος -ου ὁ = Proxeno.
Σάτυρος -ου ὁ = Satiro.
Σιλανός -οῦ ὁ = Silano.
Χειρίσοφος -ου ὁ = Quirísofo.

### *IX.3ª.- De la 3ª declinación:*

Ἀρταφέρνης -ους ὁ = Artafernes.
Μένων -ωνος ὁ = Menón.
Ξενοφῶν -ῶντος ὁ = Jenofonte.
Παρύσατις -ιδος ἡ = Parisatis.
Πασίων -ίωνος ὁ = Pasión.
Συέννεσις -ιος ὁ = Siénesis.
Σωκράτης -ους ὁ = Sócrates.
Τισσαφέρνης -ους ὁ = Tisafernes.

## X.- NOMBRES PROPIOS DE LUGARES:

### *X.1ª.- De ríos:*

Εὐφράτης -ου ὁ = Éufrates.
Κάρσος -ου ὁ = Carso.
Κύδνος -ου ὁ = Cidno.
Μαίανδρος -ου ὁ = Meandro.
Μαρσύας -ου ὁ = Marsias.
Χάλος -ου ὁ = Calo.

### *X.2ª.- De ciudades y derivados:*

| *CIUDAD* | *GENTILICIO* | *ADJETIVO* |
|---|---|---|
| Ἀθῆναι -ων αἱ = Atenas. | Ἀθηναῖος -α -ον | (=) |
| Αἴγυπτος -ου ἡ = Egipto. | Αἰγύπτιος -α -ον | |
| Ἀμπρακία -ας ἡ = Ambracia. | Ἀμπρακιώτης -ου ὁ | |
| Ἀμφίπολις -εως ἡ = Anfípolis. | Ἀμφιπολίτης -ου ὁ | |
| Ἀρκαδία -ας ἡ = Arcadia. | Ἀρκάς -άδος ὁ | |
| Βαβυλῶν -ῶνος ἡ = Babilonia. | | |
| Ἑλλάς -άδος ἡ = Hélade, Grecia. | Ἕλλην -ηνος ὁ ἡ<br>Ἕλληνες -ων οἱ | Ἑλληνικός -ή -όν |
| Ἑλλήσποντος -ου ὁ = Helesponto. | Ἑλλησποντικός -ή -όν | (=) |
| Ἔφεσος -ου ἡ = Éfeso | | |
| Θάψακος -ου ἡ = Tápsaco. | Θαψακηνοί -ῶν οἱ | |
| Θετταλία -ας ἡ = Tesalia. | Θετταλός -ή -όν | (=) |
| Θράκη -ης ἡ = Tracia. | Θρᾷκες -ων οἱ | |
| Ἰωνία -ας ἡ = Jonia. | Ἰωνικός -ή -όν | (=) |
| Κελαιναί -ῶν αἱ = Celenas. | | |
| Κιλικία -ας ἡ = Cilicia | Κίλιξ -ικος ὁ ἡ | Κιλίκιος -α -ον |

| | | |
|---|---|---|
| | Κιλίκες -ων οἱ<br>Κιλίσσα -ης ἡ | |
| Λακεδαιμονία -ας ἡ = Lacedemonia. | Λακεδαιμόνιος -α -ον | |
| Λυδία -ας ἡ = Lidia. | | |
| = Mégara | Μεγαρεύς -έως ὁ | |
| Μηδία -ας ἡ = Media. | | |
| Μίλητος -ου ἡ = Mileto. | Μιλησία -ας ἡ | Μιλήσιος -α -ον |
| Μυσία -ας ἡ = Misia. | Μυσός -οῦ ὁ | |
| Πελοπόννησος -ου ὁ = Peloponeso. | Πελοποννήσιος -ου ὁ | |
| Περσία -ας ἡ = Persia. | Πέρσης -ου ὁ | Περσικός -ή -όν |
| Πισιδία -ας ἡ = Pisidia. | Πισίδαι -ων οἱ | |
| Σάμος -ου ἡ = Samos. | Σάμιος -α -ον | |
| Σάρδεις -εων αἱ = Sardes. | | |
| Συράκουσα -ας ἡ = Siracusa. | Συρακόσιος -α -ον | |
| Συρία -ας ἡ = Siria. | Σύρος -ου ὁ | |
| Ταρσοί -ῶν οἱ = Tarso. | | |
| Φοινίκη -ης ἡ = Fenicia. | | |
| Φρυγία -ας ἡ = Frigia. | Φρύξ -υγός ὁ | |
| Φώκαια -ας ἡ = Focea. | Φωκαΐς -ΐδος ἡ | |
| Χερρόνησος -ου ἡ = Quersoneso. | | |